τῆς διαφορᾶς καὶ τοῦ γένους· ἡ περὶ τὰ δεινὰ δυσεκπληξία ἐστὶν ἀρετή. Καὶ συγκεκριμένως τὰ αὐτὰ ταῦτα. Ὁ ἀνδρεῖος ἀρετῇ τινι διαπρέπων ἐστίν. Ὁ ἀνδρεῖος ἐστὶν ἐν τοῖς δεινοῖς δυσέκπληκτος. Ὁ περὶ τὰ δεινὰ δυσέκπληκτος ἀρετὴν πλουτεῖ. Καὶ δι' ἀντιστροφῆς κατὰ συμβεβηκὸς (§. υοʹ.) ἅτε δὴ κατηγορουμένου τοῦ γένους. Ἀρετῇ τις διαπρέπων ἐστὶν ἀνδρεῖος. Καὶ δι' ἁπλῆς, παρὰ τὸ ἰσοστροφεῖν τὴν διαφορὰν τῷ εἴδει (§. υηʹ. Σημ.). Πᾶς ὁ περὶ τὰ δεινὰ δυσέκπληκτος ἐστὶν ἀνδρεῖος. Καὶ ἐν ἰσοδυναμίᾳ νοημάτων, εἰς ἀποφάσεις τρεπομένων τῶν καταφάσεων, ἢ τυχὸν ἀνάπαλιν. Τῷ ἀρετῆς ἀμοίρῳ τὸ τῆς ἀνδρίας καλὸν οὐ παρέσται. Καὶ ψυχὴ εὐκατάπληκτος ἐν τοῖς δεινοῖς οὖσα, δειλή τις ἐπιεικῶς ἐστὶ καὶ οὐκ ἀνδρική. Καὶ ᾧ ἂν μὴ προσείη τὸ τῆς ἀνδρίας καλὸν, καταπλὴξ ἄνθρωπος ὁ τοιοῦτος, καὶ ὑπὸ τοῦ τυχόντος δεινοῦ ῥᾳδίως κατασειόμενος. Ἐπειδὴ δὲ τὸ προσῆκον τῷ ὁρισμῷ καὶ τῷ ὁριστῷ προσήκει (§. ρνʹ.) καὶ ἀνάπαλιν· καὶ τὸ μὴ προσῆκον ὡσαύτως, ἐντεῦθεν πάλιν δαψιλὴς ἡμῖν καὶ ἄφθονος ἀξιωμάτων, τῶν ἐκ τοῦ ὁρισμοῦ ἀναστομοῦται ἄλλη πηγή. Οἷον τῷ δυσεκπλήκτῳ ὄντι πρὸς τὰ δεινὰ, ἕπεται δὴ εὐθαρσεῖ τε εἶναι καὶ εὐτόλμῳ πρὸς τοὺς κινδύνους· καὶ τὸ μᾶλλον αἱρεῖσθαι τεθνάναι καλῶς, ἢ αἰσχρῶς διασωθῆναι· καὶ τὸ νίκης αἴτιον εἶναι. Καὶ τὸ εὐπαρρησίαστον δὲ αὐτῷ παρακολουθεῖ, καὶ τὸ μεγαλόψυχον, καὶ τὸ καρτερικὸν, καὶ τὸ πονεῖν ἐθέλειν, καὶ ἀνδραγαθίζεσθαι, κτ. Καὶ πάντα τοίνυν ταῦτα ἀξιωθήσεται περὶ τοῦ ἀνδρείου· Ὅ,τε ἀνδρεῖος περὶ τούτων ἁπάντων. Καὶ αἱ ἀποφάσεις ὁμοίως περὶ τῶν ἀποφάσεων.

§ ωοθʹ. Ἀλλὰ καὶ ἐκ τῆς Διαιρέσεως τριχῶς οἶμαι Ἀξιώματα καρποῦσθαι ἐστί. Α. καθ' ἑκάστου τῶν ἐπὶ τῆς διαιρέσεως εἴδους τὸ γόνος κατηγοροῦντας. Βʹ. τὸ ἑτεροειδὲς τοῦ ἑτεροειδοῦς ἀποφάσκοντας. Γʹ. Διαζευκτικὴν ἀνελλιπῶς ἔχουσαν ἀπόφανσιν ἐκ τῶν ἀντιδιαιρουμένων εἰδῶν, κατὰ τῆς γενικῆς ἰδέας συνιστῶντας. Οἷον διαιρεθείσης τῆς ἀνδρίας, εἴς τε τὸ τοῖς ἐπιοῦσι κινδύνοις εὐτόλμως ἀπαντᾶν, καὶ τὰ παρόντα δεινὰ εὐψύχως φέρειν· ὧν τὸ μὲν θαρσεῖν ἐστὶ, τὸ δὲ καρτερεῖν, Ἀξιω Α. ὡς τὸ ἐν τοῖς ἐπιοῦσι κινδύνοις θαρραλέον τῆς ψυχῆς ἀνδρία ἐστί. Καὶ ὅτι τὸ καρτερικὸν ἐν τοῖς παροῦσι δεινοῖς ὡσαύτως. Ἀξιω Βʹ. ὡς οὐκοῦν τὸ θαρσεῖν καρτερεῖν ἐστιν. Οὐδὲ μὲν οὖν τὸ καρτερεῖν θαρσεῖν ἀνάπαλιν· Ἄλλο δέ τοι καὶ ἄλλο, ὡς ἄρα τῷ

εἴδει



εἴδει ἕτερα. Ἀξιω Γʹ. ὡς τῆς ἀνδρίας, ἤτοι τὸ θαρσῆσαι ἐστὶν, ἢ τὸ καρτερῆσαι. Κἀνταῦθα δὲ πάλιν, ὡς ἐπὶ τῶν διὰ τοῦ ὁρισμοῦ (§. ἀνωτ.) ἀξιουμένων, καὶ ἐπὶ τὰς συγκρίσεις ἀπὸ τῶν ἀφαιρέσεων μεταβαίνειν ἐξέσται. Καὶ δι' Ἀντιστροφῆς, τὰ ἀξιώματα ποικίλλειν. Καὶ τροπῇ τῆς καταφάσεως ἐπὶ τὴν ἰσοδυναμοῦσαν ἀπόφασιν.

§. ωπʹ. Τελευταῖον δὲ καὶ τῷ τρόπῳ τοῦ τὴν πρότασιν καθολικεύειν (§. ωογʹ.) χρησαμένοις, ἀξιωμάτων ἀφθονία παρέσται ἐφ' οἱασοῦν ὑποθέσεως. Ἡ γὰρ κατὰ τὸ ὑποκείμενον τοῦ αἰτιώδους τῆς κατηγορίας λόγου προσθήκη, ἐννοηματικὴν ἀποδεικνῦσα τὴν κρίσιν, ἐναργὲς καὶ πιστὸν παρέξεται τὸ ἀξιούμενον. Οὕτω κἂν γυναῖκά τις, τὴν τὸ φρόνημα ἐν τοῖς δεινοῖς τηροῦσαν ἀνέκπληκτον, ἀνδρείαν ἀποκαλεῖν ἀξιώσειε· καὶ ἧπου ἀναμφηρίστως· τὸ γὰρ τῆς ἀνδρίας κατηγόρημα, ἐν τῷ τῆς ψυχῆς ἀνεκπλήκτῳ, ἤδη προείληπται.

## Μέθοδος Αἰτημάτων.

### §. ωπαʹ.

Παραπλησίᾳ τῇ Μεθόδῳ, καὶ τὰ καλούμενα Αἰτήματα (§. υιʹ.) ἐκ τῶν ὁρισμῶν ἀποφέρεται. Εἰ μὴ παρ' ὅσον, τὰ μὲν Ἀξιώματα ἐκ τῶν Γνωριστικῶν (§. ρκθʹ. Σημ.) ὡς ἄρα θεωρητικαὶ ἀρχαὶ οὖσαι· τὰ δὲ Αἰτήματα ἐκ τῶν Γενετικῶν καλουμένων (§. αὐτ.), ἅτε εἰς πρᾶξιν βλέποντα. Οὕτω γὰρ καὶ Γεωμετρῶν παῖδες οὐκ ἀπὸ τοῦ ὁρισμοῦ τῆς εὐθείας, ὡς ἡ ἐξίσου ἐστὶ τοῖς ἐφ' ἑαυτῆς σημείοις κειμένη, ἢ τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν ἡ ἐλαχίστη, τὸ ἀπὸ παντὸς σημείου ἐπὶ πᾶν σημεῖον εὐθεῖαν ἄγειν αἰτοῦνται, ἀπὸ δὲ τοῦ τὴν γένεσιν αὐτῆς ἑρμηνεύοντος· τουτέστι τοῦ διὰ τῆς ῥύσεως τοῦ σημείου τὴν εὐθεῖαν γεννᾶσθαι διδάσκοντος. Τὸ γὰρ εὐθεῖαν ἀπὸ τοῦ δοθέντος ἐπὶ τὸ δοθὲν σημεῖον ἀχθῆναι, ἀμέσως δίδωσι τὸ, τὸ σημεῖον πόθεν ποι ῥυῆναι. Ὡσαύτως δὲ καὶ τὸ παντὶ κέντρῳ καὶ διαστήματι κύκλον γράφειν, ἀπὸ τοῦ Γενετικοῦ αὐτοῖς λαμβάνεται ὁρισμοῦ τοῦ κύκλου· καθ' ὃν σχῆμα ὥρισται εἶναι ὑπὸ εὐθείας, θατέρῳ μὲν τῶν ἐπ' αὐτῇ σημείων κατὰ χώραν μενούσης, καὶ ἀπὸ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ, οὗ πρότερον ἦν, περιελθούσης, καταγραφόμενον.